eul_wid: ccq-aa

*Πράξιλλα ἡ Σικυωνία* · Praxilla of Sicyon

# Lyric Fragments on Life and Love

*Ἀποσπάσματα περὶ Βίου καὶ Ἔρωτος*

**Period:** *Κλασική* Classical
**Dialect:** *Δωρική* Doric
**Domain:** *Ποίησις* Poetry
**Format:** *Ἔμμετρος* Verse

book 1.1 κάλλιστον μὲν ἐγὼ λείπω φάος ἠελίοιο, δεύτερον ἄστρα
book 1.2 φαεινὰ σεληναίης
book 1.3 τε πρόσωπον ἠδὲ καὶ ὡραίους
book 1.4 σικύους καὶ μῆλα καὶ ὄγχνας·
book 2 ἀλλὰ τεὸν οὔποτε θυμὸν ἐνὶ στήθεσσιν ἔπειθον.
book 3.1 Ἀδμήτου λόγον ὦ ἑταῖρε μαθὼν
book 3.2 τοὺς ἀγαθοὺς φίλει, τῶν δειλῶν δ’ ἀπέχου γνοὺς ὅτι δειλῶν ὀλίγα χάρις.
book 4.1 ὑπὸ παντὶ λίθωι
book 4.2 σκορπίον ὦ ἑταῖρε
book 4.3 φυλάσσεο.
book 8.1 ὦ διὰ τῶν θυρίδων καλὸν ἐμβλέποισα
book 8.2 παρθένε τὰν κεφαλὰν τὰ δ’ ἔνερθε νύμφα

Eulogikon public reading copy · View original HTML at eulogikon.org